UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Maximo Philosopho gentili. 96.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

πρὸς τὸ πάντα ἐκκαθαρθῆναι, διὰ τὴν τοῦ πράγματος ᾧ προσάγονται καθαρότητα. οὕτω καὶ ἐπὶ τῆς μεγάλης τοῦ κυρίου ἡμέρας ἡ τῶν ἀδήλων καὶ ἀφανῶν ἡμῶν πράξεων ἀνακάλυψις, ἀπογυμνώσει καὶ τραχηλισμῷ ἐοικυῖα φανήσεται, οὐδενὸς λαθεῖν δυναμένου, ἀλλὰ πάντων εἰς τὸ ἐμφανὲς ἀγομένων.

θύματος τῷ προσάγοντι.

vt omnia, ob rei, cui adhibentur, puritatē expurgentur: eodem etiam modo in magno illo Domini die actionum nobis incognitarum & obscurarum patefactio cūcta denudabit, dissectioníque similis apparebit. Neque enim quisquam latere poterit, verùm omnes in apertum adducentur.

*In iudicio extremo nihil occultum erit.*

### Εὐτονίῳ διακόνῳ. ϛε.

Ἐπειδὴ κατάρας ἦν ἡ ἄκανθα γεώργιον ἣν ἡ γῆ κατεδικάσθη μετὰ τὴν ἡμετέραν παράβασιν, πᾶσαν δὲ θεραπεῦσαι ἐν ἑαυτῷ ὁ κύριος παρεγένετο τούτου χάριν, ἀκάνθας ὡς νικηφόρος ἐστεφανώσατο, ὥσπερ οἱ δόκιμοι ποιοῦσι τῶν νικητῶν, αὐτὸ τὸ ὅπλον ἢ ὄργανον θριαμβεύοντες, δι᾽ οὗ τὴν νίκην εἰργάσαντο, θαρσεῖτε λέγων, ἐγὼ νενίκηκα τὸν κόσμον. ὁ γὰρ ἐν τῇ φύσει τῶν ἀνθρώπων γενόμενος, καὶ ἐν τοῖς αὐτῶν πλαίσμασι μὴ γενόμενος, καὶ τῷ γένει τὴν ἀρχαίαν καλλονὴν ἀποδέδωκε, καὶ τὸ κράτος τῆς κατάρας ἐν αὐτῇ τῇ φύσει κατέλυσε.

πάθεσιν.

### *Eutonio Diacono. 95.*

Quandoquidem execrationis illius, qua terra post mandatum à nobis violatū mulctata est, seges spina erat; Dominus autem, vt omnem in seipso morbum curaret, aduenerat; idcirco spinea corona vt victor, redimitus est: quemadmodum scilicet clari ac celebres victores faciunt, qui hoc ipsum telum aut instrumentū, cuius ope victoriam consecuti sunt, in triumphum gestant. Confidite, inquit: ego vici mundum. Nam qui in humana natura fuit, nec tamen in humanis vitiis fuit, veterem generi nostro pulchritudinem reddidit, ac maledicti & execrationis robur in ipsa natura deleuit.

*Cur Christus spinis coronatus. Genes. 3. Matt. 27. Simile. Ioan. 16. Galat. 3. Coloss. 2.*

### Μαξίμῳ φιλοσόφῳ ἕλληνι. ϛϛ.

Κομπάζεις φιλοσοφίαν ἐχθρὰν τῆς ὄντως σοφίας, καὶ αὐτὸ ἀρνούμενος τὸ τοῦ πράγματος ὄνομα. οὐδὲν γὰρ ἕτερόν ἐστι φιλοσοφία, ἢ τὸ πάντως φιλεῖν τὴν σοφίαν. εἰ οὖν ὄντως ἐραστὴς εἶναι βούλει σοφίας, τὴν ὄντως ἀγάπα σοφίαν, οὐ τὸν λόγον μόνον, ἀλλὰ καὶ τὸν βίον σεμνύνουσαν, καὶ τὴν ἀληθῆ θρησκείαν παιδεύουσαν. ἣν γὰρ αὐτὸς ἐπαγγέλλῃ, καὶ νῦν ὀφλισκάνει γέλωτα, θεότητας καλοῦσα τὰς πηγὰς τῆς αἰσχρότητος, καὶ ἐν τῷ μέλλοντι τιμωρίαν ὠδίνει ἀσύγγνωστον, ὅπου σοι τοὺς κωκυτοὺς καὶ πυριφλεγέθοντας ὁ Πλάτων ἠπείλησεν.

### *Maximo Philosopho gentili. 96.*

Philosophiam iactas, veræ sapientiæ inimicam, ipsum quoque huiusce rei nomen eiurans & inficians. Neque enim aliud quicquam est Philosophia, quàm sapientiam omnino amare. Quamobrem si tu verus sapientiæ amator esse cupis, veram sapientiam ama; quæ non sermonem duntaxat, sed etiam vitam exornat, ac veram religionem docet. Nam ea, quam nunc profiteris, & nunc ridicula est, vt quæ obscœnitatis fontes diuinitates vocet; & in futuro æuo cruciatum veniæ expertem parturit: vbi scilicet Cocytos tibi ac Phlegethontas Plato minatus est.

*Quæ vera sapientia.*

### Ὑμητίῳ. ϛζ.

Ἵνα δείξῃ τὴν πρὸς ἑαυτὸν καὶ τὸν πατέρα τοῦ παναγίου πνεύματος ἕνω-

### *Hymetio. 97.*

Dominus & herus noster, vt sanctissimi Spiritus secum & cum Patre coniunctio-